δεδιώς, μήτε προάγειν μήτε προϊέναι τὴν οὐσίαν φάσκοντας, ξυνεῖναι φήσει τῇ οὐσίᾳ, καὶ ἄλλ' ἄττα τὴν διαφορὰν ποιοῦντα τῶν δυνάμεων.

ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Ταῦτα δὲ νοῦς ἂν εἶεν καὶ βούλησις.

ΑΓΑΛΛΙΑΝΟΣ

Οὐχ οἶδ' ἐξότου τοῦτο λαβών· εἰ μὲν γὰρ ταὐτὸν βούλεται τὴν δύναμιν εἶναι καὶ τὴν οὐσίαν, καὶ οὐσίας ἐρεῖ τὴν μίαν οὐσίαν, ὥςπερ καὶ ἀρχὰς καὶ δυνάμεις οὔσας καλεῖ· εἰ δὲ οὐ βούλεται τοῦτο, τὴν μὲν τῷ πατρὶ ὁριζομένην οὐσίαν εἶναι τὴν ἀρχὴν τῶν ἐξ αὐτοῦ προϊόντων προςώπων. Ταύτας δὲ τὰς δυνάμεις καὶ γονιμότητας, ἃς ξυνεῖναι τῇ οὐσίᾳ λέγει, καὶ νοῦν τε καὶ βούλησιν ὀνομάζει καινοτρόπως ὡς ἰδιότητας ἐπιθεωρεῖσθαι τῇ οὐσίᾳ, ἵν' αὕτη μετὰ τῆς ἰδιότητος εἴη ὑπόστασις ἀρχὴ προακτική, ἀπὸ ποίας ἀνάγκης ἀποδείξει ταύτας τὰς ἰδιότητας κοινοῦσθαι καὶ τῷ υἱῷ, τῷ Πνεύματι δὲ μή; Οἶμαι, πολλὰ καμὼν οὐ δείξει, θήσει δὲ μόνον πολλὰ σαθρὰ καὶ ἐπικίνδυνα καὶ τῇ συνηθείᾳ τῶν θεολόγων ἄγνωστα.

Γονιμότητας δέ τίς ποτε τῶν ἁγίων εἶπε; Πηγαίαν μὲν οὖν ἴσως θεότητα καὶ μόνον πηγὴν καὶ ῥίζαν καὶ αἰτίαν καὶ θεογόνον τὸν πατέρα μεμαθήκαμεν, ἑνικῶς προφερόντων ταῦτα τῶν θεολόγων τῷ μίαν γονιμότητα πάντας εὐσεβῶς τιθέναι ἐν τῷ πατρὶ καὶ μίαν προακτικὴν δύναμιν τῷ τῆς ἕξεως τρόπῳ, τῇ πρὸς τὰ προαγόμενα παραθέσει μόνον κατὰ τὸν τῆς ἐνεργείας λόγον διχαζομένην. Αὐτίκα γὰρ ὁ Ἀρεοπαγίτης λέγει· Ὡς Τριάδα δὲ διὰ τὴν τριςυπόστατον τῆς ὑπερουσίου γονιμωτάτην ἔκφανσιν,

7. ἐξότου ΔΜ. **Γραπτέον** ἐξ ὅτου; 10. ὁριζομένην Μ: ὡριζομένην Δ 26. γονιμωτάτην Μ: γονιμοτάτην Δ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἐξ ἧς πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται.῞Ον φησιν ὁ Μάξιμος ἐξηγούμενος· Γονιμότητά φησι τὴν πατρικὴν ὑπὲρ ἔννοιαν πρόοδον εἰς ἔκφανσιν τοῦ υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Καὶ αὖθις ὁ Διονύσιος· ῞Οτι δὲ καὶ τὴν κυρίαν ἔχει τῶν ὅλων ἡ ὅλη θεότης περὶ τῆς θεογόνου θεότητος, ἢ τῆς υἱικῆς, οὐδὲ εἰπεῖν ἔστιν, οἶμαι.῞Οπου καὶ τῷ διαζευκτικῷ δείκνυσιν, ὅτι οὐ βούλεται τῷ υἱῷ προσεῖναι ὅλως τὸ θεογόνον. Καὶ ὁ μέγας Ἀθανάσιος· Μόνος ἀγέννητος καὶ μόνος πηγὴ θεότητος ὁ πατήρ. Καὶ ὁ Θεολόγος Γρηγόριος· Εἰς ἓν αἴτιον, τὸν πατέρα, υἱοῦ καὶ Πνεύματος ἀναφερομένων. Καὶ ὁ Κύριλλος· Πῶς οὐ ζωὴ τὸ ῥίζαν ἔχον τὴν ζωὴν καὶ πηγὴν ὥςπερ τινὰ τὴν ἀκήρατον καὶ παντὸς ἐπέκεινα γεννητοῦ τοῦ θεοῦ φύσεως; Καὶ αὖθις· Εἰ γνώρισμα τῆς τοῦ πατρὸς ὑποστάσεως ἡ καρπογονία, εἴτουν θεογονία, φυσική τις πάντως ἐστὶν ἰδιότης αὐτοῦ. ῞Οθεν δῆλον ὡς οὐ βούλονται οἱ διδάσκαλοι δύο γονιμότητας καὶ δύο δυνάμεις διακεκριμένας καὶ ἀρχὰς τεταγμένας εἶναι ἐν τῷ πατρί, ὡς ἀνάξιον τῆς θεολογίας καὶ ἐπικίνδυνον· οὐδὲ τὴν γεννητικὴν δύναμιν, καὶ ταῦτα προσεπινοουμένην, καὶ τὴν προβλητικὴν μαθόντες πρότερον, οὕτω καὶ τὰ κατ' αὐτὰς προαγόμενα προσηγορεύκασιν, ἀλλὰ μᾶλλον υἱὸν θεοῦ μαθόντες εἶναι τὸν Λόγον αὐτοῦ καὶ Πνεῦμα ἅγιον ἄρρητόν τινα τρόπον, καὶ αὐτὸ τὴν ὕπαρξιν ἔχον ἐξ αὐτοῦ τοῦ θεοῦ καὶ πατρός, εἰκότως καὶ δύναμίν τινα διὰ τὴν τοῦ λόγου σαφήνειαν ἐνόησαν τῷ πατρὶ καρπογόνον καὶ γονιμότητα τῇ πρὸς τοὺς καρποὺς ἀποβλέψει διχαζομένην, δύο ὄντας, ἐν δὲ τῷ πατρὶ τῷ τῆς ἕξεως τρόπῳ συνειλημμένως τε καὶ ἐνοειδῶς νοουμένην. Καὶ πολλῷ μᾶλλον ᾗ φησι περὶ τῆς τῶν ὄντων δημιουργίας ὁ ἱερὸς Διονύσιος, ὅτι τὰς πάντων αἰτίας ἐν ἑαυτῷ μονοειδῶς ὁ θεῖος λόγος προείληφεν.

Καὶ ὁ Κύριλλός φησι διὰ μιᾶς δυνάμεως τὸν θεὸν τὰς ποι-

6. ἔστιν Μ: ἐστὶν Δ 11. ὥςπερ τινὰ Μ: ὥςπέρ τινα Δ 19. κατ' Μ: κάτ' Δ 23. ἐνόησαν Μ: ἐννόησαν Δ 25. ἐνοειδῶς Μ: ἑνοειδῶς Δ 29. Κύριλλός φησι Μ: Κύριλλος φησὶ Δ

Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2007

κίλας τῶν ὄντων φύσεις δημιουργεῖν· διὸ καὶ τὰ ἐξ αὐτοῦ προϊόντα φυσικῶς οὐ τάξει τινὶ τοιαύτης προϊέναι ἐθέσπισαν, οἷα ἂν εἴη τῶν ἄλλων τῶν ἀφ' ἑνὸς προϊόντων, ἐν οἷς καὶ τὸ τῷ πρώτῳ πλησιέστερον αἴτιόν ἐστι τρόπον τινὰ τῶν πορρωτέρω, οὐδὲ προεπινοεῖσθαι τὸν γεννήτορα τοῦ προβολέως ἐν αὐτῷ τῷ πατρί· οὐδὲ τὴν γεννητικὴν τῆς προβλητικῆς δυνάμεως, οὐδὲ ἄλλο τι τῶν τοιούτων παρέδωκαν ἡμῖν, πᾶσαν τὴν θεολογίαν ἠκριβωκότες. Πῶς γὰρ οἱ ἅμα τε καὶ ἀμέσως προϊέναι καὶ ἄμφω καὶ προσεχῶς ἐκ τοῦ πατρὸς διδάξαντες τό γε εἰς τὴν γόνιμον καὶ προακτικὴν ἧκον δύναμιν τοῦ πατρός; Ὁ γὰρ Διονύσιος οὐ ῥίζαν καὶ στέλεχος καὶ ἄνθος εἶπεν, ἀλλ' ὅτι ὁ υἱὸς καὶ τὸ Πνεῦμα βλαστοὶ θεόφυτοι, ἐκ μιᾶς δῆλον ὅτι ἀνισχόντες ῥίζης ἅμα καὶ ἀμέσως καὶ προσεχῶς ἄμφω, ἢ δύο ἄνθη, ἐν ἑνὶ βλαστῷ δῆλα δή, ὅτε βλαστὸν τὸν πατέρα δεῖ νοεῖν, ἅμα δύο ἄνθη προάγονται, μηδέτερον θατέρου πρότερον ἢ προσεχέστερον, ἢ ὑπερούσια φῶτα ἐκ μιᾶς λαμπάδος ἀναλάμποντα. Καὶ ταῦτά φησι πρὸς τῶν ἱερῶν λογίων παρειληφέναι, οὐκ ἀφ' ἑαυτοῦ νομοθετεῖν. Καὶ Γρηγόριος ὁ Θεολόγος πρὸς Εὐάγριον γράφων φησίν· Οἱονεί τινες τοῦ πατρὸς ἀκτῖνες ἀπεστάλησαν εἰς ἡμᾶς ὅ τε φεγγώδης Ἰησοῦς καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ μετ' ὀλίγον· Τὸν αὐτὸν τρόπον καὶ ὁ Σωτὴρ ὁ ἡμέτερος καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ἡ δίδυμος τοῦ πατρὸς ἀκτίς, τῷ ὡς ἐξ ἑνὸς δῆλα δὴ ἡλίου τοῦ πατρὸς ἀπαστράπτειν ἄμφω. Ἀλλὰ καὶ δίρρυτον ποταμὸν ὀνομάζει τὸν υἱὸν καὶ τὸ Πνεῦμα, ἐκ μιᾶς πηγῆς τοῦ πατρὸς δηλαδὴ προϊόντα. Καὶ οἱ ἄλλοι δὲ πάντες τοῖς τοιούτοις χρῶνται ὁμοίως, οἷς ἂν ἐμφήνειαν ἅμα τὴν προαγωγὴν εἶναι υἱοῦ τε καὶ Πνεύματος καὶ ἀμέσως καὶ προσεχῶς ἐκ πατρός, καὶ ἄμφω τὰ δεύτερα φέροντα τῇ απο-

4. αἴτιόν ἐστι Μ: αἴτιον ἐστὶ Δ 6. ἄλλο Μ: ἄλλό Δ 12. δῆλον ὅτι ἔγραψα: δηλονότι ΔΜ 13. δῆλα δὴ ἔγραψα: δηλαδὴ ΔΜ 16. ταῦτά φησι Μ: ταῦτα φησὶ Δ 20. μετ' ὀλίγον Μ: μετολίγον Δ 23. ὀνομάζει Μ: ὠνομάζει Δ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

βλέψει τῆς κοινῆς σφῶν αὐτῶν αἰτίας, ἐξ ὧν συμπροΐασιν ὡς αἰτιατὰ μόνον, κατ' ἄλλο δ' οὐδέν.

Ἀλλ' ἡ ἄρρητος τοῦ θεοῦ σοφία τὴν ἀσθένειαν τῆς ἡμετέρας εἰδυῖα φύσεως, καὶ ὅτι οὐχ οἵα τε ἔσται ἡ ἡμετέρα νόησις καὶ ὁ λόγος συνάμα ἐκεῖνα νοεῖν τε καὶ λέγειν, οὐδὲ γὰρ οὐδὲ ἐν αὐτῷ τὸ νοεῖν καὶ λέγειν ὅτι συνάμα τοδὶ ἐστὶ, καὶ τοδὶ δυνάμεθα, μὴ καὶ θάτερον θατέρου προνοεῖν καὶ προεκφέρειν δυοῖν ὄντων κατὰ τὰς ὑποστάσεις, διὰ τοῦτο τὴν τάξιν ταύτην παρέδωκεν ἐν τῷ περὶ τοῦ βαπτίσματος λόγῳ, λόγοις ἴσως καὶ ἄλλοις τισὶν ἀναγκαίοις καὶ εὐσεβέσι, προταχθέντος τοῦ υἱοῦ τῆς τοῦ Πνεύματος ὑποστάσεως κατὰ τὸν μέγαν Βασίλειον ἐν τῇ Πρὸς τὰς κανονικὰς φάσκοντα· Γέγραπται τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ θεοῦ· εἰ δὲ ἐκ τοῦ θεοῦ, πῶς πρεσβύτερόν ἐστι τὸ ἐξ οὗ ἐστι; Τίς δὲ καὶ ἡ παράνοια, ἑνὸς ὄντος τοῦ ἀγεννήτου, ἀλλ' ὅτι λέγειν τοῦ ἀγεννήτου ἀνώτερον, ἀλλ' οὐδὲ τοῦ μονογενοῦς πρότερον; Οὐδὲν γὰρ μέσον υἱοῦ καὶ πατρός.

Ἔνθα καὶ ἄλλην ἀποδίδωσιν αἰτίαν τοῦ μὴ λέγειν πρότερον τὸ Πνεῦμα τοῦ μονογενοῦς, καὶ οὐ τὴν αὐτὴν ἣν εἴρηκεν ἐπὶ τοῦ πατρός. Ἐκεῖ μὲν γάρ φησιν ἡ αἰτία κωλύει· οὐ γάρ τι ἂν εἴη πρότερον τὸ ἐξ οὗ ἐστιν· ἐνταῦθα δὲ οὐ τοιοῦτόν τι ἐστι, φησὶν, ἀλλ' ἡ ἄμεσος σχέσις τοῦ πατρὸς ὀνόματος πρὸς τὸν υἱόν. Εἶτα ἐπάγει· Ὥστε ἡ περὶ τὴν τάξιν καινοτομία αὐτῆς τῆς ὑπάρξεως ἀθέτησιν ἔχει καὶ ὅλης τῆς πίστεως ἄρνησιν. Τὴν δὲ τοιαύτην τάξιν ἔλαβεν ἀπὸ τῆς θείας Γραφῆς. Προλαβὼν γὰρ ἔφη· Τέτακται δὲ, ὡς ἐν Εὐαγγελίοις δεδιδάγμεθα, παρὰ τοῦ Κυρίου εἰπόντος Πορευθέντες βαπτίζετε εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Ταύτην οὖν τὴν τάξιν τὴν διὰ τὰ

**4. εἰδυῖα Μ: εἰδυία Δ  οἵα Μ: οἱά Δ  5 (καὶ 6). συνάμα Δ: σύναμα Μ  6 (δίς). τοδὶ Μ: τὸ δὶ Δ  8. παρέδωκεν Μ: παρέδοκεν Δ  13. πρεσβύτερόν ἐστι Μ: πρεσβύτερον ἐστὶ Δ  τίς Μ: τὶς Δ  17. ἀποδίδωσιν ἔγραψα: ἀποδίδωσι ΔΜ  18. μονογενοῦς Μ: μονογεννοῦς Δ  20. ἐστιν Μ: ἐστὶν Δ  τοιοῦτόν τί εστι Μ: τοιοῦτον τὶ ἐστὶ Δ**

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

εἰρημένα τοῖς θείοις ὀνόμασι γινομένην δεῖν φασιν ἀκαινοτόμητον εἶναι καὶ μήτε ἐν τῷ βαπτίσματι μήτε ἀλλαχοῦ μεταποιεῖσθαι.

Οὐ μὲν οὖν τάξιν εἴρηκεν ὁ διδάσκαλος ἢ ἄλλος τις τῶν θεολόγων, ἣν ἐξεῦρεν ἡ καινὴ αὕτη θεολογία βαθμοῖς τισι καὶ προηγήσεσι συντεθειμένην, τῷ προτέραν εἶναι δῆλα δὴ τὴν παραγωγήν, ὡς αὐτός φησι, τοῦ υἱοῦ τῆς τοῦ Πνεύματος ὑποστάσεως τῷ προηγεῖσθαι τὴν γεννητικὴν δύναμιν ἐν τῷ πατρί, ἀρχὴν οὖσαν τοῦ υἱοῦ, τῆς προβλητικῆς ἀρχῆς οὔσης τοῦ Πνεύματος, οὐδὲ τῷ πρότερον εἶναι τὸν γεννήτορα τοῦ προβολέως τῷ προηγεῖσθαι τὸν νοῦν ἤτοι τὴν μνήμην, ὡς ὁ πρὸς ὃν ὁ λόγος ἔφη τῆς βουλήσεως.

Ταῦτα γὰρ οὐδὲ εἰς νοῦν τοῖς θεολόγοις ἀνέβη· πῶς γὰρ ἄν, εἰς μυρίας ἀτοπίας ἐκφέροντα; καίτοι τὰς ἀτοπίας καὶ αὐτὸς φεύγειν μεγαλαυχῶν, ἔστιν οὗ τὴν προεπίνοιαν ἐπιχρώννυσι. Λέγουσι μὲν οὖν οἱ ἅγιοι προεπινοεῖσθαι τὸν πατέρα τοῦ υἱοῦ ὡς αἴτιον, ἵνα τὴν τοῦ χρόνου προήγησιν ἀνέλωσιν· ἀλλ᾽ οὐ διὰ τὸ προεπινοεῖσθαι καὶ αἰτιόν φασι τοῦ υἱοῦ. Ἀλλ᾽ αἴτιον μὲν εἶναι ὑπόκειται καὶ τὸ προτετάχθαι ὡς αἴτιον ὡσαύτως· τὸ δὲ πρότερον τὸν χρόνον τῷ προτέρῳ τῆς ἐπινοίας διακρούονται. Ἐφ᾽ ὧν δὲ ἡ κατὰ τὴν αἰτίαν τάξις ἀμφισβητεῖται, ἡ προεπίνοια πρὸς τὸ δεῖξαι ταύτην οὐκ ἐξαρκεῖ. Ἐπὶ δὲ τῶν δυνάμεων ἅς φησιν, ἡ προεπίνοια δὲ πολλῷ μᾶλλον ἀλυσιτελὴς πρὸς τὴν χρείαν αὐτῷ, εἰ καὶ δοίη τις εἶναι δύο δυνάμεις ταύτας ἐν τῷ πατρί.

Ἀλλ᾽ αὐτὸς ὡς διὰ τὰς δυνάμεις, ἴσως γνωριμωτέρας οὔσας ἡμῖν τοῦ θεοῦ, τὰς ὑποστάσεις καὶ τὰς τούτων προόδους ἐπιγινωσκόντων ἡμῶν, ἀπὸ τῶν δυνάμεων ἐνσπείρειν ἄρχεται τὸ ψεῦδος, ὡς ἂν ἐπὶ τῶν προσώπων ἀναφανῇ, καὶ τὸν ὅλον καὶ μόνον

1. φασιν Μ: φησὶν Δ 2. μεταποιεῖσθαι Μ: μεταποιῆσθαι Δ 3. τις Μ: τίς Δ 4. τισι Μ: τισὶ Δ 5. συντεθειμένην Μ: συντεθιμένην Δ (καὶ κατωτέρω πολλαχοῦ). δῆλα δὴ ἔγραψα: δηλαδὴ ΔΜ 17. αἰτιόν φασι Μ: αἴτιον φασὶ Δ 21. φησιν Μ: φησὶν Δ 23. τις Μ: τὶς Δ



Ε.Υ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

υἱὸν κατὰ τὸν Θεολόγον, ὃν καὶ αὐτὸς πρότερον ἀληθεύων εἴρηκε μόνον παραγόμενον, ὅσον οὐκ ἤδη ἀπ' ἐναντίας ἑαυτοῦ καὶ τῆς ἀληθείας προβολέα καὶ αἰτίαν καὶ ἀρχὴν ἀπεργάσεται καὶ ἀπὸ τῆς τάξεως κατασκευάσει ταῦτα, ὅτι τοῦ πατρὸς δεύτερος ὁ υἱός, πρῶτος δὲ τοῦ Πνεύματος, τρίτον δὲ τὸ Πνεῦμα τὸ ἅγιον διὰ τὰς δυνάμεις τὰς προαγούσας ἢ τὰς αἰτίας, ὅτι ἡ μὲν προηγεῖται, ἡ δὲ ὑστερίζει. Καὶ εἰ μὲν προσεχέστερος τοῦ πατρὸς τῇ δυνάμει, ἥν φησιν εἶναι τὴν οὐσίαν, οὐκοῦν καὶ οὐσία· τὸ δὲ πορρώτερον καὶ ἄλλα πλείω βλάσφημα καὶ χείρονα τούτων πᾶς τις ὀρθῶς τε καὶ ἀπαθῶς σκοπῶν ἐνυπάρχοντα τῷ λόγῳ φωράσει. Καὶ παρακατιὼν λέγει

### ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Ἀλλὰ μήν, τῆς τοῦ πατρὸς ὑποστάσεως τῆς αὐτῆς οὔσης, ὅτε παράγει τὰ πρόσωπα, καὶ τῆς οὐσίας μιᾶς οὔσης αὖ πάλιν ἀρχῆς καὶ δυνάμεως, τὰ παραγόμενα τὰ αὐτὰ ἂν ἦν πάντη πάντως, μᾶλλον δὲ ἓν ἂν ἦν τῷ ὄντι τὸ παραγόμενον πρόσωπον, εἰ μὴ τῇ οὐσίᾳ, καὶ ἄλλ' ἄττα συνῆν, δι' ὧν διάφοροί πως γένοιντο αἱ δυνάμεις αἷς, υἱὸν καὶ Πνεῦμα παράγεται· τὰ δὲ ἄρα νοῦς ἂν εἴη καὶ βούλησις.

### ΑΓΑΛΛΙΑΝΟΣ

Ἀνάγκη ταῖς ἀρχαῖς συμφωνεῖν καὶ τὰ τέλη. Καὶ ὁ παρὼν οὐκοῦν λόγος, ἐκ ψευδῶν κεκινημένος ἀρχῶν, τοιοῦτον ἕξει καὶ τὸ ἀποτέλεσμα. Προϋποτίθησι γὰρ τὰ χρόνον εἰσάγοντα εἰς τὴν τοῦ ἀϊδίου ἀπόδειξιν. Ὅτε γάρ, φησί, παράγει τὰ πρόσωπα, οὐκ ἔστι χρόνος ἐν τούτοις· ἀεὶ γὰρ ἦν προηγμένα καὶ ἀεὶ πρόεισι, μᾶλ-

2. ἀπ' ἐναντίας Μ: ἀπεναντίας Δ  7. φησιν Μ: φησὶν Δ  10. φωράσει Μ: φωράσι Δ  15. τῷ ὄντι Μ: τωόντι Δ  16. ἄττα Μ: ἅττα Δ  18. εἴη ΔΜ: εἶεν σ. 112, 15.  20. ὁ Δ: λείπει Μ  23. φησὶ Μ: φησι Δ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: Ν. ΚΑΘΗΓΗΤΗΣ Κ. ΤΖΙΝΟΣ ΕΠΙΣΤΗΜΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

λον δὲ ἦν ἀπ' ἀρχῆς προηγμένα. Τοῦτο γὰρ ἔχομεν μαθόντες παρὰ τοῦ θεολογικωτάτου Γρηγορίου, πρός τινα τῶν αἱρετικῶν ἀπαντήσαντος, πειραστικῶς ἐρωτῶντα περὶ τῆς θείας γεννήσεως καὶ εἰπόντος 'Αλλ' ἦν ἀπ' ἀρχῆς γεγεννημένος, ὁ υἱὸς δῆλον ὅτι, ἵνα σου ῥαδίως φύγωμεν τὰς περιέργους ἐνστάσεις καὶ φιλοχρόνους, καίτοι γε καὶ αὐτὸς ἑαυτοῦ συναισθανόμενος τὸ ἀΐδιον πανταχοῦ προςδιορίζεται, ὡς εἴ τις λέγοι χρονικῶς πλὴν ἀϊδίως, τῷ μὲν ἀϊδίως τιθέμενος ἀληθεῖ ὄντι, περὶ δὲ θατέρου μὴ φροντίζων, εἰ τοῖς λόγοις ἀκολουθεῖ τῷ σφόδρα βούλεσθαι τὴν οἰκείαν συστήσασθαι δόξαν. Καὶ ἃς προλαβὼν ἔλεγε δυνάμεις διακεκριμένας, ὡς αὐτῷ τῷ διακεκρίσθαι ταύτας διακεκριμένα καὶ τὰ θεῖα προϊέναι πρόσωπα, ἰδοὺ νῦν ταὐτίζει, ἢ ἑνοποιεῖ, ἵν', ὡς ἔοικε, τῇ ἐπειςαγωγῇ τῶν ἄλλων τῶν συνόντων τῇ οὐσίᾳ, τὰ δέ ἐστι νοῦς καὶ βούλησις, διχάσῃ ταύτην, τὸ μὲν αὐτῆς προεπινοεῖσθαι, τὸ δὲ ὑστερίζειν νομοθετήσῃ.

### ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Καὶ ὁ νοῦς, ἀρχὴ καὶ δύναμις ὤν, ὡς αὐτὸς ἀξιοῖ διὰ γεννήσεως ἐνεργῶν, ἅμα τῇ οὐσίᾳ παράγει τὸν υἱὸν πρότερον· εἶθ' ἡ βούλησις συνάμα τῇ οὐσίᾳ διὰ προβολῆς παράγει τὸ Πνεῦμα τὸ ἅγιον.

### ΑΓΑΛΛΙΑΝΟΣ

Οὕτω γάρ φησιν αὐταῖς λέξεσιν

### ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Ὁ μὲν ἅμα τῇ οὐσίᾳ ἀρχὴ καὶ δύναμις ὢν δι' ἐνεργείας τῆς

1 (καὶ 4). ἀπ' ἀρχῆς ἔγραψα: ἀπαρχῆς ΔΜ 4. δῆλον ὅτι ἔγραψα: δηλονότι ΔΜ 12. ταὐτίζει ἔγραψα: ταυτίζει ΔΜ 13. ἐστι Μ: ἔστι Δ 19. εἶθ' Μ: εἴθ' Δ συνάμα ἔγραψα: σύναμα ΔΜ

Ε.Υ.Δ τμ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

γεννήσεως παρακτικὴ τοῦ υἱοῦ, διὸ καὶ Λόγος ὁ τοῦ θεοῦ υἱὸς ὑπὸ τῆς θεολόγου βροντῆς ὠνόμασται· νοῦ γὰρ γέννημα λόγος· ἡ δ' αὖ συνάμα τῇ [αὐτῇ] οὐσίᾳ βούλησις, ἀρχὴ καὶ δύναμις οὖσα δι' ἐνεργείας τῆς προβολῆς ἢ πνεύσεως παρακτικὴ [τῆς] τοῦ ἁγίου Πνεύματος ὑποστάσεως.

### ΑΓΑΛΛΙΑΝΟΣ

Ἀλλὰ καὶ ἑσμὸς ἡμῖν ἀρχῶν ἐκ τῶν λόγων τούτων ἀναφαίνεται· καὶ ἡ ὑπόστασις γὰρ καὶ αἱ δυνάμεις καὶ ἡ οὐσία καὶ νῦν ἔτι ὁ νοῦς. Ἡ γοῦν πολύαρχόν τι χρῆμα ὁ πατὴρ ὅσον ἐκ τῶν λόγων τούτων, ὥςπερ καὶ πολυδύναμον πρότερον, ἢ ἐν τῷ τί ἦν εἶναι διακρινόμενα τῆς οὐσίας ἕν εἰσι πάντως τῷ πράγματι Λατίνων φαῖέν τινες. Τίς ἡ χρεία τοῦ συνάπτειν ταῦτα καὶ διαιρεῖν καὶ ἄνω καὶ κάτω στρέφειν; Ἤρκει γὰρ εἰπεῖν, ὅτι ὁ πατὴρ τῇ οὐσίᾳ προάγει τὸν υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ὃ δὴ φυλάττοντες ἡμεῖς, τὸ συμβαῖνον προϊόντες σκοπήσωμεν· τὰ γὰρ ἄλλα παρέλκει. Ἤδη δὲ καὶ δύναμιν τὸν νοῦν καλεῖ καὶ ἄλλην ἀρχὴν παρὰ τὴν γεννητικὴν δήπου δύναμιν· ἐπεὶ διά γε τὸν νοῦν καὶ τὴν βούλησιν διαφόρους γίνεσθαί φησι τὰς δυνάμεις, ταύτας δὲ αὖθις τὴν οὐσίαν ἐρεῖ προϊών, ἧς ἕπεται μεμερίσθαι τὴν οὐσίαν.

Εἶτα δύναμιν μὲν ἐν θεῷ πατρὶ λέγει τὸν νοῦν, νοῦ δὲ γέννημα τὸν λόγον. Ὅθεν ἄρα γέννημα τῆς δυνάμεως ὁ λόγος, ὅπερ οὐδείς ποτε εἴρηκεν· ἀνθρώπινον γὰρ τοῦτο. Ἀλλ' ὁ Θεολόγος Γρηγόριος ἐν Β΄ τῶν περὶ υἱοῦ Ὀνομάζεται, φησίν, ὁ υἱὸς Λόγος, ὅτι οὕτως ἔχει πρὸς τὸν πατέρα ὡς πρὸς νοῦν λόγος. Ἔτι τὴν μὲν δύναμιν τὴν οὐσίαν εἶναί φησι, τὴν δὲ οὐσίαν ἔλεγε μήτε γεννᾶν μήτε γεννᾶσθαι, λέγων καλῶς.

3. συνάμα Δ: σύναμα Μ αὐτῇ προσέθηκα: λείπει ΔΜ τῆς προσέθηκα: λείπει ΔΜ 9. πολύαρχόν τι Μ: πολύαρχόντι Δ 11. ἕν εἰσι Μ: ἓν εἰσὶ Δ 18. γίνεσθαί φησι Μ: γίνεσθαι φησὶ Δ 23. ὀνομάζεταί φησιν Δ: ὀνομάζεται φησὶν Μ 25. εἶναί φησι Μ: εἶναι φησὶ Δ γεννᾶν Δ: γεννᾷν Μ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Βούλησιν δὲ εἰπὼν τὴν ἐν τῷ πατρὶ παρακτικὴν τοῦ ἁγίου Πνεύματος δύναμιν καὶ ἀρχήν, οὐ δοκεῖ τὸν ἕνα τῆς Τριάδος, τὸν παράκλητον λέγω, τοῖς κτίσμασι συναριθμεῖν; Ταύτῃ γὰρ διακρίνουσι τὰ θεῖα πρόσωπα τῶν κτισμάτων, ὅτι τὰ μὲν ἐκ τῆς φύσεως, τὰ δὲ ἐκ τῆς βουλήσεώς εἰσι τοῦ θεοῦ. Καὶ τὰ μὲν προάγει τῷ πεφυκέναι ὁ θεός, τὰ δὲ προάγει τῷ βούλεσθαι. Παράξομεν δὲ καὶ τοὺς διδασκάλους τοῦτο μαρτυρήσοντας. Ἰουστῖνος ὁ φιλόσοφος καὶ μάρτυς τῆς ἀληθείας οὕτω φησὶ «Τοῦ θεοῦ ἔχοντος οὐσίαν μὲν πρὸς ὕπαρξιν, βούλησιν δὲ πρὸς ποίησιν, ὁ ἀπορρίπτων οὐσίας καὶ βουλῆς τὴν διαφορὰν καὶ τὴν ὕπαρξιν ἀπορρίπτει τοῦ θεοῦ καὶ τὴν ποίησιν, ὕπαρξιν μὲν τὴν αὐτοῦ, ποίησιν δὲ τῶν οὐκ ὄντων». Καὶ ὁ θεῖος Μάξιμος ἐν ταῖς εἰς τὸν ἅγιον Διονύσιον ἐξηγήσεσί φησι· «Κυρίως τοῦ ἀκινήτου καὶ ὡσαύτως ἔχοντος λέγεται ἡ εἰς τὰ ὄντα βούλησις αὐτοῦ καὶ αἱ πρόοδοι τῆς εἰς πάντα προνοίας αὐτοῦ». Καὶ ὁ Δαμασκηνὸς «Ἔργον μὲν θείας φύσεως ἡ προαιώνιος καὶ ἀΐδιος γέννησις καὶ ἐκπόρευσις, ἔργον δὲ θείας θελήσεως ἡ κτίσις». Καὶ ἡ ε΄ σύνοδος τῶν οἰκουμενικῶν οὕτω λέγει· Ὁ θεός, φησιν ὁ Ὠριγένης, ἀπὸ τοῦ μὴ κτίζειν ἐλθὼν εἰς τὸ κτίζειν, πάντως ἐτράπη ἀφ᾽ ἑτέρου εἰς ἕτερον, ἡμεῖς δὲ λέγομεν, ὅτι οὐ κατὰ τὴν φύσιν ἐτράπη, ἀλλὰ κατὰ τὴν ἐνέργειαν, μᾶλλον δὲ οὐδὲ κατ᾽ αὐτήν· εἶχε γὰρ ἀεὶ τὴν δύναμιν τοῦ κτίζειν καὶ δημιουργεῖν· ἐνηργήθη γὰρ ἡ τοιαύτη δύναμις ὅτε ἠβουλήθη».

Οὐ συνᾴδει τοῖς πατράσι τούτοις καὶ οὗτος, οἷςπερ αὐτοὶ περὶ τῶν κτισμάτων ἀποφαίνονται, ταῦτα καὶ αὐτὸς περὶ τῆς προόδου τοῦ ἁγίου Πνεύματος λέγων. Ὅτε γάρ φησι παράγει τὸ Πνεῦμα ὁ πατήρ, ἡ συνοῦσα τῇ οὐσίᾳ βούλησις, ἀρχὴ καὶ δύναμις δι᾽ ἐνεργείας τῆς προβολῆς ἢ πνεύσεως γίνεται παρακτικὴ αἰτία τῆς τοῦ ἁγίου Πνεύματος ὑποστάσεως. Ἀλλὰ τὰ μὲν ἐντεῦθεν ἄτοπα, μᾶλλον δὲ βλάσφημα πᾶσι δῆλα, καὶ οὐ δεῖ πολυλογεῖν·

5. βουλήσεώς εἰσι Μ: βουλήσεως εἰσὶ Δ 13. ἐξηγήσεσί φησι Μ: ἐξηγήσεσι φησὶ Δ 18. θεός φησιν Μ: θεὸς, φησὶν Δ 21. κατ Μ: κάτ᾽ Δ 25. ἀποφαίνονται Μ: ἀποφαίνωνται Δ

Ε.Υ.Δ τμ.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

διχάζει δὲ καὶ τὴν βούλησιν καθό ἐστιν ἀρχή τινων, εἰς αὐτεξούσιον αὐτὴν διελὼν καὶ ἠναγκασμένην τινά, οὐκ οἶδα ποίαν τινὰ λέγων ἑκατέραν· προϊὼν γάρ φησιν Οὐχ ὡς ἀρχὴ αὐτεξούσιος, ἀλλ᾽ ὡς ἀναγκαία καὶ φυσική τις δύναμις καὶ ἀρχή, εἶτ᾽ ἐπάγει

### ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Διὸ πρὸς τῶν θεολογούντων ἀγάπη τὸ θεῖον κέκληται Πνεῦμα. τῆς γὰρ ἀγάπης ἡ δύναμις βούλησις.

### ΑΓΑΛΛΙΑΝΟΣ

Καλῶς ἄρα ἐλέγομεν, μᾶλλον δὲ οἱ θεολόγοι, Ἡ πρὸς τὴν δημιουργίαν κτίσις τοῦ τῶν ὅλων θεοῦ τοῦ ἀκινήτου ἐστὶν ἡ βούλησις αὐτοῦ, ἥτις οὐ μιᾷ τῶν θείων ὑποστάσεων ἀφώρισται· κοινὴ γάρ ἐστιν ἐνέργεια καὶ μία δύναμις ἡ δημιουργική. Ἰδοὺ γὰρ τὸ θεῖον Πνεῦμα, κεκλημένον ἀγάπη, δύναμιν ἔχει πρακτικὴν ἑαυτοῦ τὴν βούλησιν· καὶ οὐδέποτε τὸν ῥύπον τοῦτον ἀπονίψονται Λατῖνοι τοῦ λέγειν κτίσμα τὸ Πνεῦμα τὸ ἅγιον, ἐπεὶ καὶ ἐκ τῆς βουλήσεως τοῦ θεοῦ δοξάζουσι παράγεσθαι.

### ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Συνᾴδει δέ φησι τὰ λεγόμενα ταῖς τῶν θεολογούντων φωναῖς, οὐχ ἧττον δὲ τοῖς εἰρημένοις ὑπὸ τοῦ ἱεροῦ Αὐγουστίνου ἐν τῷ Περὶ τριάδος βιβλίῳ, ἐν οἷς καὶ μνήμην μὲν τὴν γεννητικήν, βούλησιν δὲ τὴν πνευστικὴν ἐκάλεσε δύναμιν.

1. καθό ἐστιν ἔγραψα: καθὸ ἐστὶν Μ: καθό ἐστι Δ   ἀρχή τινων Δ: ἀρχὴ τινῶν Μ   13. ἀγάπη ἔγραψα: ἀγάπην ΔΜ
18. Συνᾴδει ἔγραψα ἑπόμενος τῷ ἔθει τοῦ Ἀγαλλιανοῦ: Ξυνᾴδει ΔΜ συμφώνως πρὸς τὰ ἐν σ 113, 6 Δ   δέ φησι Δ: δὲ, φησὶ, Μ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

## ΑΓΑΛΛΙΑΝΟΣ

Φεῦ τῆς συκοφαντίας. Καὶ τίνες τῶν θεολόγων τὰς φωνὰς ταύτας παρέδωκαν αἷς συνᾴδει τὰ λεγόμενα; Οὐδεὶς δήπου. Διαβάλλει γὰρ καὶ τὸν μακαριώτατον Αὐγουστῖνον ὡς δυνάμεις καλοῦντα τοῦ πατρὸς τὴν μνήμην καὶ τὴν βούλησιν, τὴν μὲν γεννητικήν, τὴν βούλησιν δὲ πνευστικήν. Οὐ γὰρ εὕρηταί που τῶν αὐτοῦ συγγραμμάτων, ὅσα γε ἡμεῖς ἴσμεν, οὕτω ταῦτα λεγόμενα, μᾶλλον δὲ τοὐναντίον ἅπαν. Συνᾴδει γὰρ κἀκεῖνος τοῖς λοιποῖς ἁγίοις τῆς βουλήσεως τοῦ θεοῦ λέγων τὰ κτίσματα. Ἐν γὰρ κεφ. τοῦ Περὶ Τριάδος βιβλίου Καταγέλαστος, φησίν, ἡ Εὐνομίου διαλεκτική, ἐξ οὗ οἱ Εὐνομιανοὶ αἱρετικοὶ ἀνεφύησαν. Ὃς μὴ δυνηθεὶς νοῆσαι ἢ μὴ βουληθεὶς πιστεῦσαι τὸν μονογενῆ τοῦ θεοῦ Λόγον, δι᾽ οὗ τὰ πάντα ἐγένετο, τοῦ θεοῦ υἱὸν εἶναι φύσει, τουτέστιν ἐκ τῆς οὐσίας τοῦ πατρὸς γεννηθέντα οὐ τῆς φύσεως ἢ τῆς οὐσίας εἶπεν εἶναι υἱόν, ἀλλὰ τῆς θελήσεως τοῦ θεοῦ, συμβεβηκυῖαν δῆλον ὅτι τῷ θεῷ βουλόμενος μαρτυρῆσαι θέλησιν, καθ᾽ ἣν ἐγέννησε τὸν υἱόν.

Πῶς οὖν αὐτὸς τῶν αἱρετικῶν καταγελῶν ταῦτα λεγόντων τοῖς ὁμοίοις ἂν περιέπεσεν; ἦν γὰρ ἂν δήπου καταγελαστότερος. Ὃ δὲ λέγει περί τε μνήμης καὶ θελήσεως οὐκ ἀπὸ τῆς Γραφῆς ἔχειν διατείνεται, ἀφ᾽ ἑαυτοῦ δὲ συνάγειν ἐπιβόλῳ τινὶ λογισμῷ ἀπὸ τῆς κτιστῆς εἰκόνος τοῦ θεοῦ, ἥ ἐστιν ὁ ἄνθρωπος, εἰκασίαν τινὰ παραδιδοὺς τοῦ ἀκτίστου θεοῦ παρακατιών. Ἐν γὰρ τῷ αὐτῷ κεφαλαίῳ οὗπερ ἔναγχος ἐμνήσθημεν οὕτω φησίν· «Ἀλλὰ περὶ τῆς κτίσεως ἣν ἐποίησεν ὁ θεός, ὁπόσον οἷοί τ᾽ ἐγενόμεθα, ἐδιδάξαμεν τοὺς λόγον περὶ τῶν τοιούτων πραγμάτων ἀπαιτοῦντας, ὡς

16. συμβεβηκυῖαν Μ: συμβεβηκυίαν Δ    22. ἥ ἐστιν ἔγραψα: ἢ ἔστιν Δ: ἢ ἐστὶν Μ    25. τ᾽ ἐγενόμεθα ἔγραψα: τε γενόμεθα ΔΜ    29. ἀπαιτοῦντας Μ: ἀπαιτούντας Δ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τὰ ἀόρατα αὐτοῦ διὰ τῶν γεγονότων καθόσον δύνανται νοούμενα καθορᾶν, καὶ μάλιστα διὰ τῆς λογικῆς ἢ νοερᾶς κτίσεως τῆς γενομένης κατ' εἰκόνα θεοῦ, δι' οὗ ὥςπερ δι' ἐσόπτρου ὁπόσον δύνανται, εἴ γε δύνανται, βλέπειν τὸν θεὸν τὴν Τριάδα ἐν τῇ ἡμετέρᾳ μνήμῃ καὶ τῇ νοήσει καὶ τῇ θελήσει. Ταῦτα δὲ τὰ τρία ἐν τῷ αὐτῷ νοῒ φυσικῶς θεόθεν καθεστηκότα ἕκαστος ζωηρῶς θεωρεῖ καὶ πόσον μέγα ἐστὶν ἐν αὐτῷ, ἔνθα πέφυκε καὶ ἡ ἀΐδιος καὶ ἀμετάβλητος οὐσία μνημονεύεσθαι καὶ βλέπεσθαι καὶ ἐπιθυμεῖσθαι. Ἀναμιμνήσκεται γὰρ διὰ τῆς μνήμης, βλέπεται διὰ τῆς νοήσεως, περιβάλλεται διὰ τῆς ἀγάπης, καὶ παντάπασιν εὑρίσκει τῆς ἄκρας Τριάδος τὴν εἰκόνα».

Καὶ αὖθις ἐν τῷ κγ' κεφ.· «Καὶ γὰρ καὶ μνήμη τοῦ ἀνθρώπου, καὶ μάλιστα ἣν οὐκ ἔχει τὰ κτήνη, τουτέστι καθ' ἣν τὰ νοητὰ πράγματα οὕτω περιέχεται ὡς μὴ πρὸς αὐτὴν διὰ τῶν τοῦ σώματος αἰσθήσεων ἔρχεσθαι, κατὰ τὸ μέτρον ἑαυτῆς ἔχει ἐν τῇδε τῇ τῆς Τριάδος εἰκόνι ἀσυγκρίτως μὲν ἀνόμοιον, ὅμως δὲ ὁποιανδήποτε τοῦ πατρὸς ὁμοιότητα. Ἔτι δὲ καὶ ἡ νόησις τοῦ ἀνθρώπου ἡ διὰ τῆς τοῦ λογισμοῦ προθέσεως ἐκεῖθεν μορφουμένη, ἐπειδὰν ὃ γινώσκεται λέγηται καὶ μηδὲ μιᾶς γλώττης ἀλλὰ καρδίας ᾖ λόγος, ἔχει ἐν τῇ οἰκείᾳ μεγάλῃ ἀνομοιότητι καί τινα ὁμοιότητα τοῦ υἱοῦ. Καὶ δὴ καὶ ἡ τοῦ ἀνθρώπου ἀγάπη ἐκ τῆς γνώσεως προϊοῦσα καὶ τὴν μνήμην συνάπτουσα καὶ τὴν νόησιν, ὡς ἂν κοινῇ τῷ πατρί τε καὶ τῷ γεννήματι, ὅθεν οὔτε πατὴρ, οὔτε γέννημα εἶναι νοεῖται, ἔχει ἐν τῇδε τῇ εἰκόνι εἰ καὶ λίαν ἀνόμοιον ὁμοιότητά τινα τοῦ ἁγίου Πνεύματος». Καὶ αὖθις· «Περὶ δὲ τοῦ ἁγίου Πνεύματος οὐδὲν ἐν τῷδε τῷ αἰνίγματι ὅπερ ὅμοιον ἂν αὐτῷ δοκοίη ἀπέδειξα, ὅτι μὴ τὴν θέλησιν ἡμῶν ἢ τὸν ἔρωτα ἢ τὴν ἀγάπην, ἥτις ἐρρωμενεστέρα ἐστὶ θέλησις». Καὶ ἐν τῷ κε' πάλιν· «Τοῦτο τὸ ὄνομα τῷ Πνεύματι τῷ ἁγίῳ ἁρμόζει, ὥςπερ καὶ ἡ ἀγάπη· τί δέ ἐστιν ἕτερον ἀγάπη ἢ

2. καθορᾶν Δ: καθορᾷν Μ 13. τουτέστι ἔγραψα: τουτέστιν ΔΜ καθ' Μ: κάθ' Δ 20-21. καί τινα Μ: καὶ τίνα Δ 30. τί Μ: τὶ Δ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

θέλησις;». Καὶ πάλιν ἐν τῷ αὐτῷ κεφ.· «Ὁσάκις ἂν ἐν αὐτῇ τῇ κτίσει, ἥτις ἐσμὲν ἡμεῖς, ὅμοιόν τι ἐκείνῳ τῷ πράγματι ἀποδεῖξαι ἠθέλησα, τῇ ὁποιαδήτινι ἐννοίᾳ ἡμῶν οὐκ ἀποχρῶσα φράσις ἐπηκολούθησεν, εἰ καὶ ἐν αὐτῇ τῇ ἐννοίᾳ ἐπιχειρήσαντος ἐμαυτοῦ μᾶλλον ᾐσθόμην ἢ τελειώσαντος καὶ ἐν ἑνὶ μὲν προσώπῳ, ὅπερ ἐστὶν ὁ ἄνθρωπος, εὑρηκέναι τὴν εἰκόνα τῆς ἄκρας Τριάδος καὶ ἐν τρεπτῷ πράγματι, ὡς τὰ τρία ἐκεῖνα ῥᾷον νοεῖσθαι δύναται».

Οὕτω μὲν ὁ διδάσκαλος, ἐπεὶ εἰκόνα τοῦ θεοῦ τὸν ἄνθρωπον τῆς Γραφῆς ἤκουσε λεγούσης, ἀπὸ τῆς τοιαύτης εἰκόνος εἰκασίαν τινὰ παραδίδωσιν ὅσον οἷόν τε δι' αὐτῆς τὸ ἀρχέτυπον ἐννοεῖν, καὶ ἀπὸ τῶν ἐγκαθεστηκότων τῷ τοῦ ἀνθρώπου νοῒ θεόθεν φυσικῶς, τὰ δέ ἐστι μνήμη καὶ νόησις καὶ θέλησις, ἃ ἐν τῷ ἀνθρώπῳ, τρεπτῷ ὄντι καὶ ὑπὸ χρόνον, οὕτω καὶ αὐτὰ θεωρεῖται, ὡς δι' ἐσόπτρου τινός, φησί, τὸν δυνάμενον, εἴ γε δύναται, τὰ ἐν τῇ ἀϊδίῳ καὶ ἀμεταβλήτῳ οὐσίᾳ ἀναγωγικῶς τρία πρόσωπα θεωρεῖν τε καὶ νοεῖν, εἰ καὶ μεγάλη ἀνομοιότης ἐστὶ τούτων πρὸς ἐκεῖνα, ὅσον μόνον τὸν ἐξεταστικὸν τοῦ ἀνθρώπου νοῦν ἔχειν τινὰ ἵδρυσιν ἐν ταῖς περὶ θεοῦ ἐννοίαις καὶ ἐφησθῆναι κατάληψίν τινα, εἰ καὶ λίαν ἀμυδρὰν ἢ καὶ πάντα ἀνόμοιον, ἀπὸ τῶν καθ' αὑτὸ περὶ ἐκείνου πορισάμενον. Οὐ μέντοι γε ἀπὸ τῆς Γραφῆς ἔχειν ταῦτα προστίθησιν, ἀφ' ἑαυτοῦ δὲ μᾶλλον διδάσκειν τοὺς καὶ λόγον περὶ τῶν τοιούτων πραγμάτων ἀνθρώπειον ἀπαιτοῦντάς φησι· καὶ οὐδὲ τελείως τὸ μὴ ἐπακολουθεῖν ἀποχρῶσαν τὴν φράσιν, μόνον δὲ ἐπιχειρεῖν τῇ ἐννοίᾳ.

Ὅθεν δῆλον ὡς ὁ παρὼν διδάσκαλος ἐν τῷ ἀνθρωπίνῳ νοῒ τὴν μνήμην καὶ τὴν νόησιν καὶ τὴν θέλησιν, ἣν καὶ ἔρωτα καὶ ἀγάπην προσονομάζει, ὡς δυνάμεις οἶδε καὶ ἐνεργείας· ἐν δὲ τῇ μακαρίᾳ Τριάδι οὐχ ὡς δυνάμεις νοεῖ, ἀλλ' αὐτὰς τὰς ὑποστάσεις οὕτως ὀνομάζει. Ἡ γὰρ μνήμη τοῦ ἀνθρώπου, φησί, μήτε σύγκρισιν ἔχουσα μήτε ὁμοιότητα, ἔχει ὅμως ὁποιανδήτινα ὁμοιό-

11. ἐγκαθεστηκότων Μ: ἐγκαθεστηκώτων Δ 12. δέ ἐστι Μ: δὲ ἐστὶ Δ 22. ἀπαιτοῦντάς φησι Μ: ἀπαιτοῦντας φησὶ Δ 27. προσονομάζει Μ: προσωνομάζει Δ 29. φησὶ ἔγραψα: φησὶν ΔΜ



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

τητα τοῦ πατρὸς, καὶ ἡ ἐν ἡμῖν νόησις, ἤτοι τὸ τοῦ νοῦ καὶ τῆς μνήμης ἀποτέλεσμα, ὁ ἐνδιάθετος δῆλα δὴ λόγος, οὐχ ὁ προφορικὸς τῆς γλώττης, εἰ καὶ ἀνόμοιον ἔχει τινὰ ὁμοιότητα τοῦ υἱοῦ, καὶ ἡ τοῦ ἀνθρώπου ἀγάπη καὶ ἡ θέλησις ἔχει ὁμοιότητα τοῦ ἁγίου Πνεύματος. Καὶ τοῦτο, φησὶ, τὸ ὄνομα τῷ Πνεύματι τῷ ἁγίῳ ἁρμόζει, ὥσπερ καὶ ἡ ἀγάπη· τί γάρ ἐστιν ἕτερον, φησίν, ἀγάπη ἢ θέλησις; Ταῦτα δὲ οὐκ ἀπὸ σκοποῦ τῶν λοιπῶν διδασκάλων, καὶ μάλιστα τῶν ἀνατολικῶν, φιλοσοφεῖ. Εἰσὶ γὰρ οἳ τὸν πατέρα νοῦν προσηγορεύκασι καὶ τὸν υἱὸν Λόγον ὁ τῆς βροντῆς υἱὸς καὶ ἀγάπην τὸ Πνεῦμα τὸ ἅγιον· τὴν ἀγάπην γὰρ τοῦ ἀνθρώπου ἐρρωμενεστέραν φησὶ θέλησιν Αὐγουστῖνος, ἀλλ᾽ οὐ τὴν θέλησιν, ἤτοι τὴν βούλησιν, δύναμιν πρακτικὴν τῆς ἀγάπης εἴρηκεν, ἤτοι τοῦ ἁγίου Πνεύματος· ὁ γὰρ τοῦτο φάσκων Μακεδόνιος ἄντικρυς.

Ὥστε ὃ βούλεται ταυτὶ τὰ ὀνόματα, ὁ πατὴρ καὶ ὁ νοῦς, τοῦτο καὶ ἡ μνήμη παρὰ τῷ Αὐγουστίνῳ· καὶ ὃ βούλεται ὁ υἱὸς καὶ Λόγος, τοῦτο καὶ ἡ νόησις παρὰ τῷ αὐτῷ· καὶ ὃ βούλεται τὸ Πνεῦμα καὶ ἡ ἀγάπη, τοῦτο καὶ ἡ θέλησις ὁμοίως. Ταῦτα δὲ τὰ ὀνόματα ἰδιότητάς φασιν οἱ θεολόγοι παραδηλοῦν τὰς ἐν τῇ οὐσίᾳ τὰ πρόσωπα διακρινούσας ἐκεῖνα καὶ τὰς πρὸς ἄλληλα σχέσεις καὶ ἀναφορὰς ἐμφαίνειν αὐτῶν. Αἱ γὰρ ἰδιότητες, φησὶ Βασίλειος ἐν δευτέρῳ τῶν Πρὸς Εὐνόμιον, οἱονεί τινες μορφαὶ καὶ χαρακτῆρες ἐπιθεωρούμεναι τῇ οὐσίᾳ, διαιροῦσι μὲν τὸ κοινὸν τοῖς ἰδιάζουσι χαρακτῆρσι, τὸ δὲ ὁμοφυὲς τῆς οὐσίας οὐ διακόπτουσιν· οἷον κοινὸν μὲν ἡ θεότης, ἰδιώματα δέ τινα πατρότης καὶ υἱότης. Ἐκ δὲ τῆς ἑκατέρου συμπλοκῆς, τοῦ τε κοινοῦ καὶ τοῦ ἰδίου, ἡ κατάληψις ἡμῖν τῆς ἀληθείας ἐγγίνεται. Καὶ ὁ Ἀρεοπαγίτης Διακεκριμένα, φησί, τὸ τοῦ πατρὸς ὑπερούσιον ὄνομα καὶ χρῆμα καὶ υἱοῦ καὶ Πνεύματος, οὐδεμιᾶς ἐν τούτοις ἀντιστροφῆς ἢ ὅλως κοινότητος ἐπαγομένης. Καὶ Γρηγόριος ὁ Θεολόγος Αὐτὸ, φησί,

6. ἕτερον **Μ:** ἑτερον **Δ** 19. ἰδιότητάς φασιν **Μ:** ἰδιότητας φασὶν **Δ**

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τὸ μὴ γεγεννῆσθαι καὶ τὸ γεγεννῆσθαι καὶ τὸ ἐκπορεύεσθαι τὸν μὲν πατέρα, τὸν δὲ υἱὸν, τὸ δὲ τοῦθ' ὅπερ λέγεται Πνεῦμα ἅγιον προςηγόρευσεν, ἵνα τὸ ἀσύγχυτον σώζηται τῶν τριῶν ὑποστάσεων. Καὶ ὁ Νύσσης Ἡ ἐπιθεωρουμένη ἑκάστη τῶν ὑποστάσεων ἰδιότης τρανῶς καὶ καθαρῶς τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρου διίστησι.

Τούτων οὕτως ἐχόντων καὶ τῶν ὀνομάτων τούτων πρὸς τὸ διαστῆσαι καὶ διακρῖναι τὰς ὑποστάσεις, ἤτοι τὰ πρόσωπα, ἐν τῇ τῆς οὐσίας ἑνότητι πρὸς τῶν θεολόγων ἐξευρημένων· ἄν τε γὰρ τὸ Πατὴρ εἴπῃς, ἢ τὸν νοῦν ἢ τὴν μνήμην, ἄν τε ἀγάπην ἢ τὴν θέλησιν, οὐχ ὡς δυνάμεις ἑνούσας ἢ συνούσας καὶ ὅλως τῇ οὐσίᾳ ἀποδιδομένας νοοῦμεν· οὕτω γὰρ ὥςπερ μία οὐσία καὶ ἓν πρόσωπον διὰ τὰς δυνάμεις ὁτὲ μὲν πατὴρ, ὁτὲ δὲ υἱὸς, ὁτὲ δὲ Πνεῦμα λεγόμενον, ὡς ὁ Σαβέλλιος ἐφλυάρει· ἀλλ' ὡς ἰδιότητας διακρινούσας μόνον τὰ πρόσωπα, ὡς τῶν ἁγίων ἀκήκοας αὐτὸς, ὦ βέλτιστε καὶ καινὲ θεολόγε. Τίνων δ' ἄλλων θεολόγων φωναῖς συνᾴδειν φῂς τὰ σοὶ εἰρημένα;

Τίς γὰρ οὕτω πως ἐθεολόγησε, τὸν πατέρα φήσας, δύναμιν ἔχοντα τὸν νοῦν ἢ τὴν μνήμην γεννητικὴν, δι' αὐτῆς παράγειν τὸν υἱὸν, εἶτα τὴν θέλησιν καὶ δι' αὐτῆς αὖ παράγειν τὸ Πνεῦμα τὸ ἅγιον, ὡς αὐτὸς ἠξίωσας θεολογῆσαι, μὴ συνιεὶς, ὅτι αἱρετικῶν εἰσι ταῦτα φωναὶ, εἰ μή που καὶ αὐτὸς ταύταις τίθῃ καὶ ἄλλους συναρπάσαι ἐπιχειρεῖς;

Καὶ τὸν μακάριον δὲ συκοφαντεῖς Αὐγουστῖνον, τὰ ἐκείνῳ καλῶς καὶ ὀρθῇ διανοίᾳ λελεγμένα διαστρέφων καὶ παρερμηνεύων, ἢ μᾶλλον εἰπεῖν πλάττων αὐτὸς τὰ μηδόλως εἰρημένα ἢ ἐκείνῳ ἢ τοῖς ἄλλοις θεολόγοις, ὃ δὴ καὶ ἐν τοῖς ἐφεξῆς φανήσεται. Ἀλλ' ὅ γε μακάριος Κύριλλος καὶ τὴν βούλησιν τοῦ πατρὸς τὸν υἱὸν εἶναί φησιν ἕτερόν τινα τρόπον. Ἐν γὰρ ζ' τῶν Θησαυρῶν Ἀλλὰ

7. διακρῖναι Μ: διακρίναι Δ 10. ἑνούσας **ἔγραψα**: ἐνούσας Μ: ἐνοῦσας Δ συνούσας Μ: συνοῦσας Δ 12 (**δίς**). ὁτὲ Μ: ὅτε Δ
16. συνᾴδειν **ἔγραψα**: ξυνᾴδειν ΔΜ 17. Τίς Μ: Τὶς Δ
21. τίθῃ ΔΜ: **γραπτέον** πείθῃ; 22. συναρπάσαι Μ: συναρπᾶσαι Δ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τὰ μὲν ὡς ποιήματά φησιν ἐκ βουλήσεως γεγονέναι, ὁ δὲ υἱὸς ὡς αὐτὸς ὢν ἡ βούλησις ἦν ἀϊδίως ἐν τῷ πατρί. Τοσοῦτον ἀπεῖχε δύναμίν τινα πνευστικὴν τὴν βούλησιν ἐννοεῖν αὐτὸς ὁ τὸν υἱὸν βούλησιν τοῦ πατρὸς λέγων, ὡς Αὐγουστῖνος ἄλλον τρόπον τὸ Πνεῦμα, ἄλλοι δὲ τὸν πατέρα, ὡς ὁ αὐτός φησι. Τινὲς δέ, ἵνα μὴ υἱὸν τῆς βουλῆς ἢ τῆς θελήσεως τοῦ θεοῦ λέγοιεν τὸν μονογενῆ Λόγον, αὐτὸν τὸν πατέρα τὴν βουλὴν ἢ τὴν θέλησιν εἰρήκασιν εἶναι. Εἰ δ' ἄρα δύναμίν τινα τὴν βούλησιν θείη τις ἐν πατρὶ καὶ ἐνέργειαν, ἡ αὐτή ἐστι πατρὸς καὶ υἱοῦ καὶ Πνεύματος βούλησις. Καὶ ἀρχὴ τῆς τῶν κτισμάτων προόδου νοουμένη οὕτως ἐστί.

### ΑΡΓΥΡΟΠΟΥΛΟΣ

Φανερὸν οὖν, φησίν, ἐκ τῶν εἰρημένων, ὅτι ὁ πατὴρ πηγαία θεότης καὶ μόνος αἴτιος καὶ πηγὴ μόνη τῆς ὑπερουσίου θεότητος καὶ μόνος γεννήτωρ ἅμα καὶ προβολεύς.

### ΑΓΑΛΛΙΑΝΟΣ

Φεῦ τῆς κακουργίας. Καὶ ποῦ τῶν θεολογικῶν βιβλίων ταῦθ' οὕτω κείμενα εὕρηκας, ἄνθρωπε, ἢ ποῦ σοι ταῦτα ἔξεστι μεταπλάττειν προςθήκαις τε καὶ ὑφαιρέσεσιν; Οὕτω γὰρ ἂν οὐ μόνον τὰ τῆς παρούσης θεολογίας, ἀλλὰ καὶ πᾶσα γραφὴ καὶ πᾶν πρόβλημα εἰς τοὐναντίον ἂν μετασταίη, ὅρου τινὸς ἔξωθεν μεσεμβολήσαντος. Δύναται γὰρ οὐ μόνον λέξις, ἀλλὰ συλλαβὴ καὶ προςῳδία τοὐλάχιστον εἰς ἐναντίαν εὔνοιαν μεθαρμόσαι τὸν λόγον. Ἴσμεν ἴσως καὶ ἡμεῖς τὸν ἱερὸν Διονύσιον λέγοντα, ὅτι πηγαία θεότης ὁ πατὴρ καὶ μόνη πηγή, ἵνα καθάπερ εἷς ἐστιν ὁ πατήρ,

1. ποιήματά φησιν ἔγραψα: ποιήματα φησὶν ΔΜ  8. τις Μ: τὶς Δ  9. αὐτή ἐστι Μ: αὐτὴ ἐστὶ Δ  12. φησίν Μ: φησὶ Δ (καὶ 24). πηγαία Μ: πηγαῖα Δ  13. μόνος αἴτιος σ. 113, 11: μόνον αἰτία ΔΜ  πηγὴ μόνη σ. 113, 11: μόνη πηγὴ  21-22. προςῳδία Μ: προσοδιά Δ  24 ἐστιν Μ: ἐστὶν Δ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007